# ΠΟΙΗΜΑΤΙΩΝ ἸΑΤΡΙΚΩΝ Β΄.

## ΟἿΟΝ ἈΠΟΛΟΓΗΤΙΚΟΝ· Ἢ ΜΕΘΟΔΟΣ ἹΠΠΟΚΡΑΤΕΙΟΣ ΤΗΝ ΠΟΛΥΦΑΡΜΑκίας ἀναιροῦσα κατάχρησιν.

Α. Ψέγουσι φειδὼ τὴν ἐμὴν ἐν φαρμάκοις
τὸ πλεῖον οἷα τῆς νοσηλείας φύσει
ἐπιτρέποντος, ἤγε χρήσει φαρμάκων·
ἀλλ᾽ οὖν ἄπο τρόπου τε καὶ λόγου δίχα
ψόγον προσαρτᾶν τουτονὶ σπεύδουσί μοι·
ἐπείπερ, ὡς ἔοικεν, οἶδ᾽ οὐκ ἐκ τέλους,
ἐκ τῶν ἰδίων δὲ πράγματα κρίνουσί που·
ἢ κἀγνοοῦσι τὴν ἐμὴν θεωρίαν
τείνουσαν ὡς μάλιστα πρὸς τὸ συμφέρον
τῶν ἀσθενούντων, οὐδ᾽ ὅλως δὲ πρὸς βλάβος·
καίτοιγ᾽ ἀκεσμῶν τῶν ἐμῶν εἰληφότες
πεῖραν, τὸ τούτων τ᾽ ἀσφαλὲς δεδορκότες
τοὐνήσιμόν τε τῶνδε πρὸς τῷ ξυντόμῳ,
ἅγ᾽ ἐμπεδοῖ μάλιστα τὴν θεωρίαν
δεικνύντα τήνδ᾽ ὅπως ποτ᾽ ἀτρεκεστέραν·
ἣν συντόμως μέν, ὡς ἔνεστι, προὐθέμην,
ἀλλ᾽ οὖν σαφεστάτοισιν ἐκθέσθαι λόγοις,
οὐχ ὥς ἐμαυτὸν ἐξελεῖν πως τοῦ ψόγου,
πολλοῦ γε καὶ δεῖ· τοῦδ᾽ ἔμοιγ᾽ οὔτ᾽ οὖν μέλει,
κενήν γε δόξαν πώποτ᾽ οὐ θηρωμένῳ,